eul_wid: czs-aa

*Κρατῖνος ὁ κωμικός* · Cratinus the Comic Poet

# Fragments on Cimon and Athenian Life

*Ἀποσπάσματα περὶ Κίμωνος καὶ τοῦ Ἀθηναίων Βίου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 κἀγὼ γὰρ ηὔχουν Μητρόβιος ὁ γραμματεὺς σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ καὶ πάντ’ ἀρίστῳ τῶν
book 1.2 Πανελλήνων
book 1.3 πρώτῳ Κίμωνι λιπαρὸν γῆρας εὐωχούμενος[ln_5]αἰῶνα πάντα
book 1.4 συνδιατρίψειν. ὁ δὲ λιπὼν βέβηκε
book 1.5 πρότερος.
book 2.1 οἷον
book 2.2 σοφιστῶν
book 2.3 σμῆνος ἀνεδιφήσατε.
book 3 ἤδη δέλφακες, χοῖροι δὲ τοῖσιν ἄλλοις.
book 4.1 εὕδοντι
book 4.2 πρωκτὸς αἱρεῖ.
book 5 Δωδωναίῳ κυνὶ βωλοκόπῳ, τίτθη, γεράνῳ προσεοικώς.
book 6.1 εἶδες τὴν Θασίαν ἅλμην οἶ’ ἄττα βαΰζει, ὡς εὖ καὶ ταχέως ἀπετείσατο καὶ παραχρῆμα; οὐ μέν
book 6.2 τοι
book 6.3 παρὰ κωφὸν ὁ τυφλὸς ἔοικε λαλῆσαι.
book 7.1 ἔνθα Διὸς μεγάλου θᾶκοι
book 7.2 πεσσοί τε καλοῦνται.
book 8 ἡ μὲν δὴ πίννῃσι καὶ ὀστρείοισιν ὁμοίη.
book 9.1 ὠμολίνοις κόμη βρύους’, ἀτιμίας
book 9.2 πλέως.
book 10 ’Ερασμονίδη Βάθιππε τῶν ἀωρολείων.
book 15.1 ὃς οὐκ ἔδωκ’ αἰτοῦντι
book 15.2 Σοφοκλέει
book 15.3 χορόν, τῷ Κλεομάχου δ’, ὃν οὐκ ἂν ἠξίουν ἐγὼ ἐμοὶ διδάσκειν οὐδ’ ἂν εἰς Ἀδώνια.

book 16 ἐν Καρὶ τὸν κίνδυνον ἐν ἐμοὶ δὴ δοκεῖ πρώτῳ πεπειρᾶσθαι.
book 17.1 καὶ πρὸς τὸν οὐρανὸν
book 17.2 σκιαμαχῶν ἀποκτίννυσι
book 17.3 ταῖς ἀπειλαῖς.
book 21 ὁ βοῦς ἐκεῖνος χὠ μαγὶς καὶ τἄλφιτα.
book 22.1 Ὑπερβορέους αἴθρια
book 22.2 τιμῶντας
book 22.3 στέφη.
book 23.1 ἐτήσιοι γὰρ
book 23.2 πρόσιτ’ ἀεὶ πρὸς τὴν τέχνην.
book 24.1 ἦν ἆρ’ ἀληθὴς ὁ λόγος, ὡς δὶς
book 24.2 παῖς γέρων.
book 25-26.1 ἵνα
book 25-26.2 σιωπῇ τῆς τέχνης ῥάζωσι τὸν λοιπὸν
book 25-26.3 χρόνον. ἔρραζε
book 25-26.4 πρὸς τὴν γῆν, ὁ δ’ ἠσκάριζε κἀπέπαρδε.
book 27.1 τῷ δ’ ὑποτρίψας
book 27.2 τι μέρος
book 27.3 πνῖξον καθαρύλλως.
book 28-29.1 εἴ τις δ’ ὑμῶν κάλλει
book 28-29.2 προκριθῇ. πρὶν
book 28-29.3 παροῦσα διδάσκῃ.
book 30 τούτοισι δ’ ὄπισθεν ἴτω δίφρον φέρων Λυκοῦργος ἔχων καλάσιριν.
book 36 ὅτε σὺ τοὺς καλοὺς θριάμβους ἀναρύτους’ ἀπηχθάνου.
book 37.1 ἔνεισιν ἐνταυθοῖ μάχαιραι κουρίδες, αἷς κείρομεν τὰ πρόβατα καὶ τοὺς
book 37.2 ποιμένας.
book 38.1 [spk_β]στολὴν δὲ δὴ τίν’ εἶχε; τοῦτό μοι
book 38.2 φράσον. Β. θύρσον, κροκωτόν, ποικίλον, καρχήσιον.
book 39.1 οὐκ ἀλλὰ βόλιτα
book 39.2 χλωρὰ κῴσπωτὴν
book 39.3 πατεῖν.
book 40.1 ἐν
book 40.2 σαργανίσιν ἄξω
book 40.3 ταρίχους
book 40.4 Ποντικούς.
book 41 νακότιλτος ὡσπερεὶ κωδάριον ἐφαινόμην.
book 42.1 παραστάδας καὶ πρόθυρα βούλει
book 42.2 ποικίλα.
book 43.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ δ’ ἠλίθιος ὥσπερ

book 43.2 πρόβατον βῆ βῆ λέγων βαδίζει.

book 44 τῶν βδελλολαρύγγων ἀνεπαγγέλτων αὐτῷ φοιτήσας ἐπὶ δεῖπνον.

book 45.1 οὐ γάρ

book 45.2 τοι σύγε

book 45.3 πρῶτος ἄκλητος

book 45.4 φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις;

book 46 χηνοβοσκοί, βουκόλοι

book 47.1 κλίνην τὴν

book 47.2 παράπυξον

book 48 ἡ γελγόπωλις

book 49 τὸν Κερκυόνα θ’ ἕωθεν ἀποπατοῦντ’ ἐπὶ τοῖς λαχάνοις εὑρὼν ἀπέπνιξα.

book 50.1 δέχεσθε

book 50.2 φιάλας τάσδε βαλανειομφάλους.

book 51 [spk_β]οὗτος, καθεύδεις; Β. οὐκ ἀναστήσεις βοῶν.

book 52.1 οἱ δὲ πυππάζουσι

book 52.2 περιτρέχοντες, ὁ δ’ ὄνος ὕεται.

book 53.1 φέρε νῦν

book 53.2 σοι ἐξ αἰθρίας καταπυγοσύνην μυὸς ἀστράψω Ξενοφῶντος.

book 54.1 τοὺς ὧδε μόνον

book 54.2 στασιάζοντας καὶ βουλομένους

book 54.3 τινὰς εἶναι.

book 55 ποδαπὰς ὑμᾶς εἶναι φάσκων, ὦ μείρακες, οὐκ ἂν ἁμάρτοιν;

book 56.1 Πανδιονίδα πόλεως βασιλεῦ τῆς ἐριβώλακος, οἶσθ’ ἣν λέγομεν, καὶ κύνα καὶ πόλιν ἣν

book 56.2 παίζουσιν.

book 57-58.1 Λάμπωνα, τὸν οὐ βροτῶν ψῆφος δύναται

book 57-58.2 φλεγυρὰ δείπνου φίλων ἀπείργειν.[ln_2]* * * νῦν δ’ αὖθις ἐρυγγάνει· βρύκει γὰρ ἅπαν τὸ παρόν, τρίγλῃ δὲ κἂν μάχοιτο.

book 65 ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν.

book 66.1 ἐπίσχες αὐτοῦ, μὴ πέρα

book 66.2 προβῇς λόγου.

book 69-70 Δωροῖ συκοπέδιλε. τέκτονες εὐπαλάμων ὕμνων.

book 71.1 ὁ σχινοκέφαλος Ζεὺς ὅδε

book 71.2 προσέρχεται

book 71.3 Περικλέης, τᾠδεῖον ἐπὶ τοῦ κρανίου ἔχων, ἐπειδὴ τοὔστρακον

book 71.4 παροίχεται.

book 72 ἐς τὸν καλιόν, ἢν τύχῃ, καθείργνυται.

book 73.1 ὅτι

book 73.2 τοὺς κόρακος τάξ Αἰγύπτου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 73.3 χρυσία κλέπτοντας ἔπαυσαν.

book 74.1 Πανὶ κακὸν δεῦρο μαστάω

book 74.2 τινὰ ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον

book 74.3 προσῆν. οὐδαμῶς ξύλινος ἐκεῖνος * * * * * * * * ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερα Δαιδάλειος ἦν;[ln_5]ἤ τις ἔκλεψεν αὐτόν;

book 76 τὴν πέρυσι βουλὴν ἐφεστώς.

book 77 ὀκτώπουν ἀνεγείρεις.

book 78 ἀπέφρησαν

book 79 ἀρκυωρός

book 80 δίλογχον

book 81 κακόδουλος

book 82 κύβηβον

book 85.1 Ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν

book 85.2 πληγάς, ἐὰν μὴ συστρέψῃ τὰ πράγματα.

book 86.1 ἐπέδωκε βαλάνων ἄβακα τῶν ἐκ

book 86.2 Φιττέως.

book 87 ἔστιν ἄκμων καὶ σφῦρα νεανίᾳ εὔτριχι πώλῳ.

book 90 ἐπισμῇ

book 91 ἰποῦμεν

book 92 παροψωνεῖν

book 93 σκάλωψ

book 94 φέροικος

book 95 φοβερὸν ἀνθρώποις τόδ’ αὖ κταμένοις ἐπ’ αἰζηοῖσι καυχᾶσθαι μέγα.

book 96.1 ἀμοργὸν ἔνδον βρυτίνην νήθειν

book 96.2 τινά.

book 97 τίς ἄρ’ ἐρῶντά μ’ οἶδεν, ὦ Γνήσιππ’, ἐγὼ πολλῇ χολῇ. οἴομαι γὰρ μηδὲν οὕτως μῶρον εἶναι καὶ κενόν.

book 98.1 παντοίοις γε μὴν κεφαλὴν ἀνθέμοις ἐρέπτομαι λειρίοις, ῥόδοις, κρίνεσιν, κοσμοσανδάλοις, ἴοις, καὶ σισυμβρίοις, ἀνεμωνῶν κάλυξί τ’ ἠριναῖς, ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλειχρύσου κλάδοις,[ln_5]οἰνάνθῃσιν, ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ, ἀνθρύσκου φόβῃ, * * * * * * * * * τῷ τ’ ἀειφρούρῳ μελιλώτῳ κάρα

book 98.2 πυκάζομαι, καὶ κύτισος αὐτόματος

book 98.3 παρὰ Μέδοντος ἔρχεται.

book 100 λευκοὺς ὑπὸ ποσσὶν ἔχων πίλους.

book 107.1 ὄρνιθα

book 107.2 τοίνυν δεῖ σε γίγνεσθαι μέγαν.

book 108.1 Λήδα, σὸν ἔργον· δεῖ ς’ ὅπως εὐσχήμονος ἀλεκτρυόνος μηδὲν διοίσεις

book 108.2 τοὺς

book 108.3 τρόπους, ἐπὶ τῷδ’ ἐπῴζους’, ὡς ἂν ἐκλέψῃς καλὸν ἡμῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 108.4 τι καὶ θαυμαστὸν ἐκ
book 108.5 τοῦδ’ ὄρνεον.
book 109.1 ὥστ’ οὖν ἐσθίων
book 109.2 τοῖς
book 109.3 σιτίοισιν ἥδομαι. ἅπαντα δ’ εἶναί μοι δοκεῖ ῥοδωνιὰ καὶ μῆλα καὶ σέλινα καὶ σισύμβρια.
book 110.1 Σπάρτην λέγω γε
book 110.2 σπαρτίδα τὴν
book 110.3 σπάρτινον.
book 111 μόλ’ ὦ Ζεῦ ξένιε καὶ μακάριε.
book 112.1 Ψύρα
book 112.2 τε τὴν
book 112.3 Σπάρτην ἄγεις.
book 113-114.1 τἄλλα πάντ’ ὀρνίθια. ὄρνιθα
book 113-114.2 φοινικόπτερον.
book 115 ἐν τῷ κύφωνι τὸν αὐχέν’ ἔχων.
book 116.1 τῷ δὲ κοττάβῳ προθέντας ἐν
book 116.2 πατρικοῖσι νόμοις τὸ κεινέου ὀξυβάφοις βάλλειν μὲν τῷ πόντῳ δὲ βάλλοντι νέμω
book 116.3 πλεῖστα τύχης.
book 120 ἀπόκινον
book 121 ὁ δὲ Ζεὺς ὀσταφίσιν ὕσει τάχα.
book 122.1 ἀλλὰ μὰ Δί’ οὐκ οἶδ’ ἔγωγε γράμματ’ οὐδ’ ἐπίσταμαι, ἀλλ’ ἀπὸ γλώττης
book 122.2 φράσω
book 122.3 σοι· μνημονεύω γὰρ καλῶς.
book 123 οὐκ ἀπερρήσεις σὺ θᾶττον; ἀποτιλῶ σε τήμερον.
book 124.1 χρυσίδι
book 124.2 σπένδων γέγραφε
book 124.3 τοῖς ὄφεσι
book 124.4 πιεῖν διδούς.
book 125.1 καὶ δρόσον βάλλων ἕωθεν
book 125.2 χλιαρὸς
book 125.3 ταγηνίας.
book 126.1 ἦ πρεσβῦται πάνυ γηραλέοι
book 126.2 σκήπτροισιν ἄκασκα
book 126.3 προβῶντες.
book 127.1 νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων, πάρα δ’ ἄλλ’ ὅ τι
book 127.2 χρῄς.
book 128 ὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται.
book 129 τυρῷ καὶ μίνθῃ παραλεξάμενος καὶ ἐλαίῳ.
book 131.1

σανδάλια

book 131.2 Τυρρηνικά

book 132 σχοίνινον ἡθμόν

book 135.1 οὔπω ̓πιον

book 135.2 τοιοῦτον οὐδὲ πίομαι Μάρωνα.

book 136.1 [spk_κυκλωψ]ΚΥΚΛΩΨ. πώποτ’ εἶδες, εἰπέ μοι, τὸν ἄνδρα; ΟΔΥΣΣ. Λαέρτα φίλον

book 136.2 παῖδ’; ἐν Πάρῳ, σικυὸν μέγιστον

book 136.3 σπερματίαν ὠνούμενον.

book 137 οἱ δ’ ἀλυσκάζουσιν ὑπὸ ταῖς κλινίσιν.

book 138-139.1 τίνες αὖ πόντον κατέχους’ αὖραι; νέφος οὐράνιον τόδ’ ὁρῶμαι. ὡς ἂν μᾶλλον

book 138-139.2 τοῖς

book 138-139.3 πηδαλίοις ἡ ναῦς ἡμῶν

book 138-139.4 πειθαρχῇ.

book 140 ἐπ’ ἀριστέρ’ ἀεὶ τὴν ἄρκτον ἔχων λάμπουσαν, ἕως ἂν ἐφεύρῃς.

book 141 τῇ νῦν τόδε πῖθι λαβὼν ἤδη, καὶ τοὔνομά μ’ εὐθὺς ἐρώτα.

book 142.1 ἧσθε

book 142.2 πανημέριοι

book 142.3 χορταζόμενοι γάλα λευκόν, πυὸν δαινύμενοι, κἀμπιμπλάμενοι

book 142.4 πυριάτῃ.

book 143.1 ἀνθ’ ὧν πάντας ἑλὼν ὑμᾶς ἐρίηρας ἑταίρους, φρύξας, ἑψήσας, κἀπ’ ἀνθρακιᾶς ὀπτήσας εἰς ἅλμην

book 143.2 τε καὶ ὀξάλμην κᾆτ’ ἐς

book 143.3 σκοροδάλμην

book 143.4 χλιαρὸν ἐμβάπτων, ὃς ἂν ὀπτότατός μοι ἁπάντων[ln_5]ὑμῶν

book 143.5 φαίνηται, κατατρώξομαι, ὦ στρατιῶται.

book 144.1 σιγάν νυν ἅπας ἔχε

book 144.2 σιγάν, καὶ πάντα λόγον τάχα

book 144.3 πεύσει· ἡμῖν δ’ Ἰθάκη

book 144.4 πατρίς ἐστιν, πλέομεν δ’ ἅμ’ Ὀδυσσέι θείῳ.

book 145.1 νεοχμόν

book 145.2 τι παρῆχθαι ἄθυρμα.

book 146 οὐκ ἰδίᾳ τάδ’ οὐκετὸν θοι τἀπὶ Χαριξένης.

book 147 τέμαχος ὀρφῶ χλιαρόν

book 148 δέλφακας μεγάλους

book 152.1 μισεῖς γὰρ τὰς γυναῖκας, πρὸς

book 152.2 παιδικὰ δὲ τρέπῃ νῦν.

book 153 κρανία δισσὰ φορεῖν, ὀφθαλμοὶ δ’ οὐκ ἀριθμητοί.

book 154 ἀλλοτριογνώμοις ἐπιλήσμοσι μνημονικοῖσιν.

book 157 διὰ πάντων ἀγών

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 158 γέγηθα τὸν ἄνδρα

book 159 σκευωρόν

book 160.1 αὐτόματα

book 160.2 τοῖσι θεὸς ἀνίει τἀγαθά.

book 161 ἐγὼ γάρ εἰμι θυννὶς ἢ μελαινὰς ἢ καὶ θύννος, ὀρφώς, γλαῦκος, ἔγχελυς, κύων.

book 162 ἄρξει γὰρ αὐτοῖς διποδία καλῶς.

book 163 περὶ σιαγόνος βοείας μαχόμενος.

book 164.1 ἆρ’ ἀληθῶς

book 164.2 τοῖς ξένοισιν ἔστιν, ὡς λέγους’, ἐκεῖ πᾶσι

book 164.3 τοῖς ἐλθοῦσιν ἐν τῇ κοπίδι θοινᾶσθαι καλῶς; ἐν δὲ ταῖς λέσχαισι φύσκαι

book 164.4 προσπεπατταλευμέναι κατακρέμανται, τοῖσι

book 164.5 πρεσβύταισιν ἀποδάκνειν ὀδάξ;

book 165.1 οἷς δὴ βασιλεὺς Κρόνος ἦν τὸ παλαιόν, ὅτε

book 165.2 τοῖς ἄρτοις ἠστραγάλιζον, μᾶζαι δ’ ἐν

book 165.3 ταῖσι

book 165.4 παλαίστραις Αἰγιναῖαι κατεβέβληντο δρυπεπεῖς βώλοις

book 165.5 τε κομῶσαι.

book 166 μὴ ξυντυχίᾳ βαρυνόμενοι

book 167 ἀνανεοῦσθαι

book 168 ἀναπηρίαν

book 169 οἱ δ’ αὖθ’ ἡμεῖς, ὡς ὁ παλαιὸς λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι κομψῶν ἐπὶ δαῖτα θεατῶν.

book 170.1 ᾗ Διονυσίοις ἀκύλοις

book 170.2 παίζους’ ἀνέμενοι

book 170.3 τρόπα.

book 172.1 ἄνδρας

book 172.2 σοφοὺς

book 172.3 χρὴ τὸ παρὸν

book 172.4 πρᾶγμα καλῶς εἰς δύναμιν τίθεσθαι.

book 175 γλῶσσαν εὐέρων βοτῶν.

book 177 αὐτὸ δείξει

book 178 Γοργῶπις

book 179 κορωνιδεύς

book 181.1 ἀλλ’ ἐπανατρέψαι βούλομαί σου τὸν λόγον. πρότερον ἐκεῖνος

book 181.2 πρὸς ἑτέραν γυναῖκ’ ἔχων τὸν νοῦν, κακὰς εἴποι

book 181.3 πρὸς ἑτέραν· ἀλλ’ ἅμα μὲν τὸ γῆρας, ἅμα δέ μοι δοκεῖ[ln_5]οὐδέποτ’ αὐτοῦ πρότερον.

book 182.1 γυνὴ δ’ ἐκείνου

book 182.2 πρότερον ἦ, νῦν δ’ οὐκέτι.

book 183.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νῦν δ’ ἢν ἴδῃ Μενδαῖον ἡβῶντ’ ἀρτίως οἰνίσκον, ἕπεται κἀκολουθεῖ καὶ λέγει, οἴμ’ ὡς ἁπαλὸς καὶ λευκός. ἆρ’ οἴσει

book 183.2 τρία;

book 184 τὸν δ’ ἴσον ἴσῳ φέροντ’· ἐγὼ δ’ ἐκτήκομαι.

book 185.1 τὴν μὲν

book 185.2 παρασκευὴν ἴσως γιγνώσκετε.

book 186.1 ἄναξ Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων. καναχοῦσι

book 186.2 πηγαί, δωδεκάκρουνον τὸ στόμα, Ἰλισὸς ἐν τῇ φάρυγι· τί ἂν εἴποιμ’ ἔτι; εἰ μὴ γὰρ ἐπιβύσει

book 186.3 τις αὐτοῦ τὸ στόμα,[ln_5]ἅπαντα

book 186.4 ταῦτα κατακλύσει

book 186.5 ποιήμασιν.

book 187.1 πῶς

book 187.2 τις αὐτόν, πῶς

book 187.3 τις ἂν ἀπὸ τοῦ πότου

book 187.4 παύσειε, τοῦ λίαν πότου; ἐγῷδα. συντρίψω γὰρ αὐτοῦ τοὺς χόας, καὶ τοὺς καδίσκους

book 187.5 συγκεραυνώσω

book 187.6 σποδῶν,[ln_5]καὶ τἄλλα πάντ’ ἀγγεῖα τὰ περὶ τὸν πότον, κοὐδ’ ὀξύβαφον οἰνηρὸν ἔτι κεκτήσεται.

book 188 ἀτὰρ ἐννοοῦμαι δῆτα τῆς μοχθηρίας τῆς ἠλιθιότητος τῆς ἐμῆς.

book 189.1 ὄψει γὰρ αὐτὴν ἐντὸς οὐ πολλοῦ χρόνου

book 189.2 παρὰ τοῖσι δεσμώταισι καταπιττουμένην.

book 190 ἆρ’ ἀραχνίων μεστὴν ἔχεις τὴν γαστέρα.

book 191 ἀλλ’ οὐδὲ λάχανον οὐδὲν οὐδ’ ὀστοῦν ἔτι ὁρῶ.

book 192.1 ὡς λεπτός, ἦ δ’ ὅς, ἔσθ’ ὁ τῆς

book 192.2 χορδῆς τόμος.

book 193.1 τοὺς μὲν ἐκ

book 193.2 προχοιδίου, τοὺς δ’ ἐκ καδίσκου.

book 194 ἀπὸ ποτέρου τὸν καῦνον ἀριθμήσεις;

book 195 ληρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων ἐν τῇδε τῇ κάλλους ἀκμῇ.

book 196.1 Ὑπέρβολον δ’ ἀποσβέσας ἐν

book 196.2 τοῖς λύχνοισι γράψον.

book 197.1 οὐ δύνανται πάντα

book 197.2 ποιοῦσαι νεωσοίκων λαχεῖν, οὐδὲ κάννης.

book 198.1 ὦ λιπερνῆτες

book 198.2 πολῖται, τἀμὰ δὴ ξυνίετε ῥήματα.

book 199.1 οἶνός

book 199.2 τοι

book 199.3 χαρίεντι πέλει

book 199.4 ταχὺς ἵππος ἀοιδῷ, ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 199.5 σοφόν.

book 205.1 αἶρε δεῦρο

book 205.2 τοὺς βρικέλους.

book 206.1 οὕτω

book 206.2 σταθερῶς

book 206.3 τοῖς λωποδύταις ὁ πόρος

book 206.4 πεινῶσι

book 206.5 παφλάζει.

book 207.1 [spk_β]ἐς

book 207.2 Συρίαν δ’ ἐνθένδ’ ἀφικνεῖ μετέωρος ὑπ’ αὔρας. Β. ἱμάτιον μοχθηρόν, ὅταν βορρᾶς καταπνεύσῃ.

book 208.1 εἶτα Σάκας ἀφικνεῖ καὶ Σιδονίους καὶ Ἐρεμβούς, ἔς

book 208.2 τε πόλιν δούλων, ἀνδρῶν νεοπλουτοπονήρων, αἰσχρῶν, Ἀνδροκλέων, Διονυσοκουρώνων.

book 209.1 οἰκοῦσιν

book 209.2 φεύγοντες, ἀίδρυτον κακὸν ἄλλοις.

book 211.1 χαίρετε πάντες ὅσοι

book 211.2 πολύβωτον

book 211.3 ποντίαν Σέριφον.

book 213 πολυτρήτοις φῳσί

book 214 ἀμοργοί

book 218 οὐ σῖτον ἄρασθ’, οὐχ ὕπνου λαχεῖν μέρος.

book 219 ξίφιζε καὶ σπόδιζε καὶ διαρρικνοῦ.

book 220 χαίρετε δαίμονες, οἳ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης—

book 221.1 οὐδ’ Αἰξωνίδ’ ἐρυθρόχρων ἐσθίειν ἔτι

book 221.2 τρίγλην, οὐδὲ τρυγόνος, οὐδὲ δεινοῦ φυὴν μελανούρου—

book 222.1 ἔγειρε δὴ νῦν, Μοῦσα, Κρητικὸν μέλος. χαῖρε δή, Μοῦσα· χρονία μὲν ἥκεις, ὅμως δ’ ἦλθες· οὐ πρίν γε δεῖν, ἴσθι

book 222.2 σαφές, ἀλλ’ ὅπως—

book 224 ἐπέθηκεν ἐπιστολήν

book 225 παρεῖαι ὄφεις

book 227 λυχνοκαΐαν

book 228 οἰκῶ δὲ νῆσον, ὡς μὲν ἀνθρώπων λόγος, ἐσπαρμένος κατὰ πᾶσαν Αἴαντος πόλιν.

book 229 ὄνοι δ’ ἀπωτέρω κάθηνται τῆς λύρας.

book 231 οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ’ ἐσίγων.

book 232.1 ἄγε δὴ πρὸς ἕω

book 232.2 πρῶτον ἁπάντων ἵστω καὶ λάμβανε

book 232.3 χερσὶν

book 232.4 σχῖνον μεγάλην.

book 233.1 καὶ πρῶτον μὲν

book 233.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρὰ ναυτοδικῶν ἀπάγω

book 233.3 τρία κνώδαλ’ ἀναιδῆ [Πεισίαν, Ὀσφύωνα, Διειτρέφη.]

book 234 ἐξ ἀσαμίνθου κύλικος λείβων.

book 235.1 σκῆψιν μὲν

book 235.2 Χείρωνες ἐλήλυμεν, ὡς ὑποθήκας—

book 236 Κλειταγόρας ᾄδειν, ὅταν Ἀδμήτου μέλος αὐλῇ.

book 237 ταῦτα δυοῖν ἐτέοιν ἡμῖν μόλις ἐξεπονήθη.

book 238.1 μακάριος ἦν ὁ πρὸ τοῦ βίος βροτοῖσι

book 238.2 πρὸς τὰ νῦν, ὃν εἶχον ἄνδρες ἀγανόφρονες ἡδυλόγῳ σοφίᾳ βροτῶν

book 238.3 περισσοκαλλεῖς.

book 239.1 ἁπαλὸν δὲ σισύμβριον ἢ ῥόδον ἢ κρίνον

book 239.2 παρ’ οὖς ἐθάκει· μετὰ χερσὶ δὲ μῆλον ἔχων

book 239.3 σκίπωνά τ’ ἠγόραζον.

book 240 Στάσις δὲ καὶ πρεσβυγενὴς Κρόνος ἀλλήλοισι μιγέντε μέγιστον τίκτετον τύραννον, ὃν δὴ κεφαληγερέταν θεοὶ καλέουσιν.

book 241.1 Ἥραν τέ οἱ Ἀσπασίαν τίκτει Καταπυγοσύνη

book 241.2 παλλακὴν κυνώπιδα.

book 244 δωροδοκούντων αἲξ οὐρανία

book 245.1 Βοῦθος

book 245.2 περιφοιτᾷ

book 246 Ἰθακησία ὀρτυγομήτρα

book 249 βιβλιαγράφον

book 250.1 ἀλλ’ ἦν ὅτ’ ἐν φώσωνι τὴν ἴσην ἔχων μετ’ ἐμοῦ διῆγες οἴναρον, ἕλκων τῆς

book 250.2 τρυγός.

book 251.1 μῶν βδελυγμία ς’ ἔχει; πτερὸν

book 251.2 ταχέως

book 251.3 τις καὶ λεκάνην ἐνεγκάτω.

book 252.1 ταῦτ’ αὐτὰ πράττω, ’φασκ’ ἀνὴρ οὐδὲν

book 252.2 ποιῶν.

book 253.1 ἴσως

book 253.2 πυρορραγὲς κακῶς τ’ ὠπτημένον.

book 254.1 ἔδει

book 254.2 παρέχειν ὅ τι

book 254.3 τις εὔξαιτ’ ἐμβραχύ.

book 255 ἐκεῖνος αὐτὸς ἐκμεμαγμένος.

book 256.1 ἴτω δὲ καὶ τραγῳδίας ὁ Κλεομάχου διδάσκαλος, παρατιλτριῶν ἔχων

book 256.2 χορὸν λυδιστὶ τιλλουσῶν μέλη[ln_5]πονηρά.

book 257.1 ἐφθάρη μαρίλης τὴν φάρυγα

book 257.2 πλέαν ἔχων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 258.1 μακάριος τῶν
book 258.2 παιδικῶν
book 259 ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχῶν ὀλόφωνος ἀλέκτωρ.
book 260.1 οὐδὲ πρὸς εἶδος ἄρ’ ἦν οὐδὲν
book 260.2 προσιδόντι
book 260.3 τεκμαρτόν.
book 264 ψήφισμα ἔθηκεν
book 265 γαλιδέως
book 268 ξυστίς
book 269 προσκεφάλαιον
book 271 φελλέα
book 272 ὡραΐζεσθαι
book 273 πιεῖν δὲ θάνατος οἶνον ἢν ὕδωρ ἐπῇ. ἀλλ’ ἴσον ἴσῳ μάλιστ’ ἀκράτου δύο χόας πίνους’ ἀπ’ ἀγκύλης ἐπονομάζους’ ἅμα ἵησι λάταγας τῷ Κορινθίῳ πέει.
book 274.1 πρὸς
book 274.2 τοῦ Σόλωνος καὶ Δράκοντος οἷσι νῦν
book 274.3 φρύγουσιν ἤδη τὰς κάχρυς
book 274.4 τοῖς κύρβεσιν.
book 275 τῇ μάστιγι κνάψειν εὖ μάλα ἢ συμπατῆσαι.
book 276 τοὺς ἐξοδίους ὑμῖν ἵν’ αὐλῶ τοὺς νόμους.
book 277.1 τὴν
book 277.2 χεῖρα μὴ ’πίβαλλε, μὴ κλάων καθῇς.
book 278 εἰ πρῶτος ἔλθοις κἂν καθίζεσθαι λάβοις.
book 279.1 ἐφ’ ᾧ τ’ ἔμ’ αὐτὴν
book 279.2 συγκαθεύδειν τῷ πατρί.
book 280 ὁ τάλαρος ὑμῖν διάπλεως ἔσται γάρου.
book 281 ποιμὴν καθέστηκ’ αἰπόλος καὶ βουκόλος.
book 282 τοῦτον μὲν οὖν καλῶς διεπηνίκισας λόγον.
book 283 ἔχων τὸ πρόσωπον καρίδος μασθλητίνης.
book 284 ἄκουε, σίγα, πρόσεχε τὸν νοῦν, δεῦρ’ ὅρα.
book 285 ἄκουέ νυν καὶ τήνδε τὴν ἐπιστολήν.
book 286 καὶ μὴ πρόσισχε βαρβάροισι βουκόλοις.
book 287 ἡ παῖς γὰρ ἔμπαις ἐστὶν ὡς ἠνδρωμένη.
book 288 οὐδ’ ὑδατοπωτῶν οὐδὲ κοιλοφθαλμιῶν.
book 289 τούτου δ’ ἁπάσας ἀποτεμῶ τὰς μηχανάς.
book 290 ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις.
book 291 ἀλλ’ οὖν θεῷ σπείσαντ’ ἄμυστιν δεῖ πιεῖν.
book 292.1 ὅνπερ
book 292.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φιλοκλέης τὸν λόγον διέφθορεν.

book 293 ὦ μεγίστη γλῶττα τῶν Ἑλληνίδων.

book 294 ἄρχων εἰμὶ νῦν Ἀθηναίοις ἐγώ.

book 295.1 δασὺν ἔχων τὸν

book 295.2 πρωκτὸν ἅτε κυρήβι’ ἐσθίων.

book 296.1 ὃς τὴν πίτυν ἔκαμπτεν ἑστὼς

book 296.2 χαμάθεν ἄκρας τῆς κόμης καθέλκων.

book 297.1 ἀλλ’ εἴσιθ’ εἴσω καὶ πιοῦσα

book 297.2 χυλὸν ἀναπαύου κακῶν.

book 298 ὡς ἄνω τὴν μασχάλην αἴρωμεν ἐμπεπωκότες.

book 299.1 ὁ δὲ μετ’ Εὐδήμου

book 299.2 τρέχων κώμυθα τὴν λοιπὴν ἔχει τῶν

book 299.3 πρωίων.

book 300.1 πάλαι γὰρ αὐτὸ λόγοισι

book 300.2 προάγει

book 300.3 Περικλέης, ἔργοισι δ’ οὐδὲ κινεῖ.

book 301.1 γαυριῶσαι δ’ ἀναμένουσιν ὧδ’ ἐπηγλαϊσμέναι μείρακες

book 301.2 φαιδραὶ τράπεζαι

book 301.3 τρισκελεῖς

book 301.4 σφενδάμνιναι.

book 302 ὡς δὲ μαλακὸν καὶ τέρεν τὸ χρωτίδιον ἦν, ὦ θεοί· καὶ γὰρ ἐβλίμαζον αὐτήν, ἡ δ’ ἐφρόντιζ’ οὐδὲ ἕν.

book 303.1 γλαῦκον οὐ πρὸς

book 303.2 παντὸς ἀνδρός ἐστιν ἀρτῦσαι καλῶς.

book 304 εὐπρόσωπος ἦσθ’ ὀνόματος οὐδὲν ἐπὶ χεῖρας φέρων.

book 305.1 καὶ Πολυμνήστει’ ἀείδει μουσικήν

book 305.2 τε μανθάνει.

book 306.1 ἀφυπνίζεσθαι

book 306.2 χρὴ πάντα θεατήν, ἀπὸ μὲν βλεφάρων αὐθημερινῶν

book 306.3 ποιητῶν λῆρον ἀφέντα.

book 307.1 τίς δὲ σύ; κομψός

book 307.2 τις ἔροιτο θεατής. ὑπολεπτολόγος, γνωμοδιώκτης, εὐριπιδαριστοφανίζων.

book 309 κἀνθένδ’ ἐπὶ τέρματα γῆς ἥξεις καὶ Κισθήνης ὄρος ὄψει.

book 310.1 οὗτοι δ’ εἰσὶν

book 310.2 συοβοιωτοί, κρουπεζοφόρον γένος ἀνδρῶν.

book 311 κοκκύζειν τὸν ἀλεκτρυόν’ οὐκ ἀνέχονται.

book 312.1 λόγος

book 312.2 τις ὑπῆλθ’ ἡμᾶς ἀμαθὴς

book 312.3 συοβαύβαλος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 313 ταῖς ῥαφανῖσι δοκεῖ, τοῖς δ’ ἄλλοις οὐ λαχάνοισιν.
book 314 ταυτὶ καὶ τολμᾷς σὺ λέγειν ῥοδοδάκτυλος οὖσα;
book 315 χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύβηλιν.
book 316.1 μισηταὶ δὲ γυναῖκες ὀλίσβοισιν
book 316.2 χρήσονται.
book 317.1 ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα
book 317.2 σε λιμὸς ἐχθαίρῃ, Κοννᾶς δὲ πολυστέφανος νικήσει.
book 318.1 φαίνεσθαι
book 318.2 χρυσῆν, κατ’ ἀγροὺς δ’ αὖθις αὖ μολυβδίνην.
book 319 πονηροὺς ἀνθρώπους * * * πηνικίζων ἐξαπατᾷ.
book 320.1 τρίγλην δ’ εἰ μὲν ἐδηδοκοίη τένθου
book 320.2 τινὸς ἀνδρός.
book 321 χαῖρ’ ὦ χρυσόκερως βαβάκτα κήλων, Πάν, Πελασγικὸν Ἄργος ἐμβατεύων.
book 322.1 τῶν αἰσχρῶν φίλοισι
book 322.2 χαριζόμενον
book 322.3 πονηρὸν αὐτὸν εἶναι.
book 323.1 χαῖρ’, ὦ μέγ’ ἀχρειόγελως ὅμιλε
book 323.2 ταῖς ἐπίβδαις, τῆς ἡμετέρας
book 323.3 σοφίας κριτὴς ἄριστε πάντων, εὐδαίμον’ ἔτικτέ σε μήτηρ ἰκρίων ψόφησις.
book 324a.1 εὔιε κισσοχαῖτ’ ἄναξ
book 324a.2 χαῖρ’, ἔφασκ’ Ἐκφαντίδης.[ln_1]* * *
book 324b.1 πάντα
book 324b.2 φορητά, πάντα
book 324b.3 τολμητὰ τῷδε τῷ χορῷ.[ln_1]* * *
book 324c πλὴν Ξενίου νόμοισι καὶ Σχοινίωνος, ὦ Χάρων.
book 325.1 αὐτομάτη δὲ φέρει
book 325.2 τιθύμαλλον καὶ σφάκον
book 325.3 πρὸς αὐτῷ ἀσφάραγον κύτισόν
book 325.4 τε· νάπαισι δ’ ἀνθέρικος ἐνηβᾷ· καὶ φλόμον ἄφθονον ὥστε
book 325.5 παρεῖναι πᾶσι
book 325.6 τοῖς ἀγροῖσιν.
book 327 ἀλλὰ τάδ’ ἔστ’ ἀνεκτέον· καὶ γὰρ ἡνίκ’ εὐθένει …
book 342 ἀπορεῖν καὶ σφακελίζειν τῷ δεινῷ
book 343 ἄνθρωπος λυπησίλογος
book 346 εὐιπποτάτη Μαραθών
book 347 Λέρνη θεατῶν
book 352 Ψύρα τὸν Διόνυσον ἄγοντες
book 353 στημονίας κικίννους
book 355.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνελκταῖς ὀφρύσι
book 355.2 σεμνόν
book 356 ἀναπηδᾶν ἐν δήμῳ
book 357 ἁπαλὸς εἴσπλους λιμένος
book 358 ἐφιππάσασθαι λόγοις
book 359 μηδὲν ὑπέρφευ
book 360 ἆρά γε, ὦ ’τάν, ἐθελήσετε;
book 361 σφάττε δαῖρε κόπτε.
book 365 ἄξιος λαβεῖν ὁ μισθός
book 366 ὥρκωσε καὶ ὁρκώτης δ’ ἐγώ.
book 367 ἀποκεῖσθαι πόρρω
book 369 ἀφήλικα γέροντα
book 370.1 οἰναγωγὸν
book 370.2 πλοῖον
book 371 ἰσχάδα κοπτήν
book 372.1 ἐρίων
book 372.2 πιναρῶν πόκον
book 373 ἅγιος
book 374 ἀγροβόας ἀνήρ
book 375 ἀγυιεῖς
book 376 Ἀδώνιον
book 377 αἴγλη
book 378 αἰγυπτιάζειν
book 379ab αἱμυλοπλόκος et αἱμυλόφρων
book 380 ἀλαζών
book 381 ἀμφίκαυστις
book 382 ἄναλτον
book 383 ἀνεξικώμη
book 384 ἀνεπτερῶσθαι
book 385 ἄνοργοι
book 386 ἀνταναγνῶναι
book 387 ἀπαλλάξας
book 388 ἀποκριπάμενος
book 389 ἀρρενώπας
book 390 ἅψω
book 391 βαδίζου
book 392 βαδισματίας
book 393 Βασιλεία
book 394

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βολβός
Βρέα
βῶσον
γαστροχάρυβδις
γλύφειν
γονατίζειν
δασύποδα
Δεξώ
διάλαος
δουλοπρεπέστατα
δυσβράκανον
δυσθαλής
δωδεκέται
ἐθέλεχθρον
ἐλλοπίδας
ἐναύεσθαι
ἐπιλησμονή
ἐρρῶσθαι
εὐζωρότερον (εὔζωρον)
εὐθανάτως
εὐπινής
ἐφετίνδα
ἡμίλουτοι
θεόθυτα
θηλάστριαν
ἰωνόκυσος
καλαμώμενον
κύαθος
λαυροστάται
λεπάσται
μάσμα
μελαγχρής
μεσόκοπον
μετεκβολή
μηνυτήν
μικρολογήσομαι
μίξοφρυν
μναρόν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰνωμένοι
book 433 ὅμαιμος
book 434 παναγάθη
book 435 πανεύφρονα
book 436 πολύμιτος
book 437 πρίονες
book 438 πρότηθυς
book 439 πωγωνίας
book 440 ῥύγχος
book 441 ῥύδην
book 442 Σάγρα
book 443 σαυνίον
book 444 σκῖρον
book 445 στρωματίτης
book 446 σφίγκτας
book 447 σχιζίας
book 448 ταμιεῖον
book 449 τοκῶσα
book 450 τροπαῖον
book 451 φαγᾶς
book 452 χαλαίρυπος
book 453 χειρονομησείοντας
book 454 ψευδομαρτύριον
book 455 ὠνυχισμένον
book 457 σκανδάληθρ’ ἱστὰς ἐπῶν
book 458.1 ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης
book 458.2 πολεμαρχεῖ
book 459 τίς δέ ς’ ἐτύφλωσεν; τίς ἀφείλετο λαμπάδος αὐγάς;
book 460 Ἐπειοῦ δειλότερος
book 461 κεράμιον οἰνηρόν
book 462 κυρηβάσασθαι